ὅμοια, τὸν δὲ πλεύμονα οὔθ' ὅμοιον, οὔτε τῇ θέσει ὁμοίως ἔχοντα. (3) Ἔτι δὲ καρδίαν ἅπαντ' ἔχει *ὅσα αἷμα ἔχει*, καὶ τὸ διάζωμα, ὃ καλοῦνται φρένες· ἀλλ' ἐν τοῖς μικροῖς διὰ λεπτότητα καὶ σμικρότητα οὐ φαίνεται ὁμοίως. Πλὴν ἐν τῇ καρδίᾳ ἴδιόν τι ἔστιν ἐπὶ τῶν βοῶν· ἔστι γάρ τι γένος βοῶν, ἀλλ' οὐ πάντες, ὃ ἔχει ἐν τῇ καρδίᾳ ὀστοῦν. Ἔχει δὲ καὶ ἡ τῶν ἵππων καρδία ὀστοῦν. (4) Πλεύμονα δ' οὐ πάντ' ἔχει, οἷον ἰχθὺς οὐκ ἔχει, οὐδ' εἴ τι ἄλλο τῶν ζῴων ἔχει βράγχια. Καὶ ἧπαρ ἅπαντ' ἔχει ὅσα περ αἷμα· σπλῆνα δὲ τὰ πλεῖστα ἔχει ὅσα περ καὶ αἷμα. Τὰ δὲ πολλὰ τῶν μὴ ζῳοτόκων, ἀλλ' ᾠοτόκων, μικρὸν ἔχει τὸν σπλῆνα οὕτως, ὥστε λανθάνειν ὀλίγου τὴν αἴσθησιν ἔν τε τοῖς ὄρνισι τοῖς πλείστοις, οἷον ἐν περιστερᾷ καὶ ἰκτίνῳ καὶ ἱέρακι καὶ γλαυκί· ὁ δ' αἰγοκέφαλος ὅλως οὐκ ἔχει. Καὶ ἐπὶ τῶν ᾠοτόκων δὲ καὶ τετραπόδων τὸν αὐτὸν τρόπον ἔχει· μικρὸν γὰρ πάμπαν ἔχουσι καὶ ταῦτα, οἷον χελώνη, ἑμύς, φρύνη, σαῦρος, κροκόδειλος, βάτραχος. (5) Χολὴν δὲ τῶν ζῴων τὰ μὲν ἔχει, τὰ δὲ οὐκ ἔχει, ἐπὶ τῷ ἥπατι· τῶν μὲν ζῳοτόκων καὶ τετραπόδων ἔλαφος οὐκ ἔχει, οὐδὲ πρόξ, ἔτι δὲ ἵππος, ὀρεύς, ὄνος, φώκη καὶ τῶν ὑῶν ἔνιοι. Τῶν δ' ἐλάφων αἱ ἀχαῖναι καλούμεναι δοκοῦσιν ἔχειν ἐν τῇ κέρκῳ χολήν· ἔστι δ' ὃ λέγω τὸ μὲν χρῶμα ὅμοιον χολῇ, οὐ μέντοι *ὅλον* ὑγρὸν οὕτως, ἀλλ' ὅμοιον τῷ τοῦ σπληνὸς τὰ ἐντός. (6) Σκώληκας μέντοι πάντες ἔχουσιν ἐν τῇ κεφαλῇ ζῶντας· ἐγγίνονται δ' ὑποκάτω τοῦ ὑπογλωττίου ἐν τῷ κοίλῳ καὶ περὶ τὸν σφόνδυλον, ᾗ ἡ κεφαλὴ προσπέφυκε, τὸ μέγεθος οὐκ

4. Ὁμοίως, πλὴν ἐν τῇ καρδίᾳ. Ἴδιον δ' ἐστὶν Bk. — 22. Ὃ λέγουσι Bk. — 23. Τὰ ἐντός] τὰ ἐκτὸς Bk.